Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

I. Comparatio pietatis Constantini cum iniquitate persecutorum.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

# EVSEBII PAMPHILI DE VITA BEATISSIMI IMPERATORIS CONSTANTINI, LIBER TERTIUS.

## CAPUT I.

*Comparatio pietatis Constantini cum iniquitate persecutorum.*

A Hoc modo dæmon bonorum omnium inimicus, qui Ecclesiæ felicitati semper invidere solet, pacis ac lætitiæ tempore tumultus & intestina bella in eâ excitabat. Interim verò Deo carus Imperator, quæ sui officii erant minimè neglexit: prorsus contraria iis quæ tyrannica crudelitas paulò ante præsumpserat, agere studens. Eáque ratione cunctis hostibus atq; inimicis superior fuit. Nam primùm quidem illi à veri Dei cultu alieni, cunctos mortales ad falsorum Numinum cultum variis modis per vim adigebant. Hic verò Deos illos neutiquam esse, tum verbis, tum reipsa convincens, universos ad
B ejus qui solus est Deus agnitionem, hortatus est. Adhæc illi Christum Dei impiis vocibus deridebant. Hic verò illud ipsum quod impii homines maledictis præcipuè incessebant, salutis præsidium esse scripsit; Dominicę passionis tropęo sese efferens. Illi cultores Christi persequebantur, eósque domo ac penatibus exturbabant. Hic cunctos ab exsilio revocavit, & domiciliis suis restituit. Illi eos notabant infamia, hic honoribus auxit, & felices ac beatos omnium judicio effecit. Illi Dei cultorum bona injustè publicabant ac diripiebant: hic
C non solùm ipsis bona sua restituit; sed plurimis insuper beneficiis affectos locupletavit. Illi scriptis constitutionibus calumnias adversus Ecclesiarum Præsides divulgebant: hic contrà eosdem viros extollens & honore afficiens, edictis ac legibus propositis, illustriores quàm antea reddidit. Et illi quidem oratoria funditus evertebant, & ab ipsis culminibus usque ad solum disjecta sternebant: hic

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ, ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ βασιλέως, Λόγος γʹ.

## ΚΕΦΑΛΑΙΟΝ Αʹ.

*Σύγκρισις εὐσεβείας Κωνσταντίνου, καὶ τῆς τῶν διωκτῶν παρανομίας.*

A Ὁ Μὲν δὴ μισόκαλος δαίμων ὧδε ... τοῖς τῆς ἐκκλησίας βασκαίνων καλοῖς, χειμῶνας αὐτῇ καὶ ταραχὰς ἐμφυλίους, ... νης ἐν καιρῷ καὶ θυμηδίας εἰργάζετο· καὶ μὴν βασιλεὺς Θεῷ φίλος, τῶν αὐτῷ πρεπόντων οὐ κατωλιγώρει. πάντα δὲ πράττων τἀναντία τοῖς μικρὸν ἔμπροσθεν ὑπὸ τῆς τυραννικῆς ὠμότητος τετολμημένοις, πάντων ἦν ἐχθρῶν καὶ πολεμίων κρείττων. αὐτίκα δ' οὖν οἱ Θεοὺς τοὺς μὴ ὄντας παντοίαις ἀνάγκαις ἐβιάζοντο σέβειν, τοῦ ὄντος ἀφεστῶτες. ὁ δ', ὅτι μὴ εἰσὶν ἔργοις καὶ λόγοις ἀπελέγχων, τὸν
B μόνον ὄντα παρεκάλει γνωρίζειν. οἱ μὲν, βλασφήμοις τὸν Χριστὸν τοῦ Θεοῦ διεχλεύαζον φωναῖς. ὁ δὲ, ἐφ' ᾧ μάλιστα οἱ ἄθεοι τὰς βλασφημίας ἐπέτεινον, ἐγράφετο φυλακτήριον, τῷ τοῦ πάθους σεμνυνόμενος τροπαίῳ· οἱ μὲν ἤλαυνον, ἀοίκους καὶ ἀνεστίους καθιστῶντες τοὺς θεράποντας τοῦ Χριστοῦ· ὁ δὲ ἀνεκαλεῖτο τοὺς πάντας, καὶ ταῖς οἰκείαις ἀπεδίδου ἑστίαις. οἱ μὲν ἀτιμίαις περιέβαλλον. ὁ δ' ἐντίμους καὶ ζηλωτοὺς καθίστη τοῖς ἅπασιν. οἱ μὲν ἐδήμευον ἀδίκως, τῶν θεοσεβῶν ἀφαρπάζοντες τοὺς βίους. ὁ δ'
C ἀπεδίδου, πλείστοις ἐπιδαψιλευόμενος χαρίσμασιν. οἱ μὲν διατάγμασιν ἐγγράφοις ταῖς κατὰ τῶν προέδρων ἐδημοσίευον συκοφαντίαις. ὁ δὲ ἔμπαλιν, ἐπαίρων καὶ ἀνυψῶν τῇ παρ' αὐτῷ τιμῇ τοὺς ἄνδρας, προγράμμασι καὶ νόμοις διαφανεστέρους ἐποίει. οἱ μὲν ἐκ βάθρων τοὺς εὐκτηρίους οἴκους καθῄρουν, ἄνωθεν δ' ἐξ ὕψους καταστρωννῦντες εἰς ἔδαφος. ὁ δὲ τὰς οὔσας ὑψοῦσθαι καὶ κατα-

ρας ἀνίστασθαι μεγαλοπρεπῶς ἐξ αὐτῶν τῶν βασιλικῶν θησαυρῶν ἐνομοθέτει. οἱ μὲν τὰ θεόπνευστα λόγια ἀφανῆ ποιεῖσθαι πυρὶ φλογίτα προσέταττον. ὁ δὲ καὶ ταῦτα πληθύνειν ἐκ βασιλικῶν θησαυρῶν μεγαλοπρεπεῖ παρασκευῇ πολυπλασιαζόμενα ἐνομοθέτει. οἱ μὲν συνόδους Ἐπισκόπων μηδαμῆ μηδαμῶς τολμᾶν προσέταττον ποιεῖσθαι. ὁ δὲ τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν παρ' ἑαυτῷ συνεκρότει. βασιλείων τ' εἴσω παρεῖναι, καὶ μέχρι τῶν ἐνδοτάτω χωρεῖν, ἑστίας τε καὶ τραπέζης βασιλικῆς κοινωνοὺς γίνεσθαι ἠξίου. οἱ μὲν ἐτίμων ἀναθήμασι τοὺς δαίμονας. ὁ δὲ ἀπεγύμνου τὴν πλάνην, τὴν ἄχρηστον τῶν ἀναθημάτων ὕλην τοῖς χρῆσθαι δυνατοῖς διηνεκῶς νέμων. οἱ μὲν τοὺς νεὼς φιλοτίμως κοσμεῖν ἐκέλευον. ὁ δὲ ἐκ βάθρων καθῄρει τούτων αὐτῶν, τὰ μάλιστα παρὰ τοῖς δεισιδαίμοσι πολλοῦ ἄξια. οἱ μὲν τοὺς τοῦ Θεοῦ δούλους αἰκίσαις ὑπέβαλλον τιμωρίαις. ὁ δὲ αὐτοὺς μὲν τοὺς ταῦτα δεδρακότας μετῄει, σωφρονίζων τῇ πρεπούσῃ τοῦ Θεοῦ κολάσει. τῶν δ' ἁγίων μαρτύρων τοῦ Θεοῦ τὰς μνήμας τιμῶν οὐ διελίμπανεν. οἱ μὲν τῶν βασιλικῶν ἤλαυνον οἴκων τοὺς θεοσεβεῖς ἄνδρας. ὁ δὲ αὐτοῖς μάλιστα τούτοις διετέλει θαῤῥῶν, τοὺς εὔνους αὐτῷ καὶ πιστοὺς ἁπάντων μᾶλλον, τούτους εἶναι γινώσκων. οἱ μὲν, χρημάτων ἥττους ὑπῆρχον, Ταντάλειῳ τὴν ψυχὴν πάθει δεδουλωμένοι. ὁ δὲ βασιλικῇ μεγαλοπρεπείᾳ πάντας ἀναπετάσας θησαυροὺς, πλουσίᾳ καὶ μεγαλοψύχῳ δωρεᾷ τὰς μεταδόσεις ἐποιεῖτο. οἱ μὲν μυρίους κατειργάζοντο φόνους, ἐφ' ἁρπαγῇ καὶ δημεύσει τῆς τῶν ἀναιρουμένων οὐσίας. Κωνσταντίνου δ' ἐπὶ πάσῃ τῇ βασιλείᾳ, πᾶν ξίφος εἰς ἄχρηστον τοῖς δικασταῖς ἀπῃώρητο. τῶν καθ' ἔθνος δήμων τε καὶ πολιτευτῶν ἀνδρῶν πατρονομουμένων μᾶλλον, ἢ ἐπ' ἀνάγκαις ἀρχομένων. εἰς ἃ δὴ ἀποβλέψας εἴπεν ἄν τις εἰκότως, νεαρόν τινα καὶ νεοπαγῆ βίον ἄρτι τότε φανῆναι δοκεῖν, ξένου φωτὸς ἀθρόου ἐκ σκότους τῷ θνητῷ καταλάμψαντος γένους. Θεοῦ τε τὸ πᾶν ἔργον εἶναι ὁμολογεῖν, τοῦ τῶν ἀθέων πλήθους ἀντίπαλον τὸν θεοφιλῆ βασιλέα προβεβλημένου.

A verò oratoria quæ adhuc superessent altius erigi, & nova magnifico cultu prolatis ex Imperiali ærario sumptibus exstrui præcepit. Illi oracula divinitus inspirata flammis aboleri jusserunt: hic sacrorum Voluminum exemplaria sumptibus Imperialis ærarii propagari, & magnifico apparatu decorari mandavit. Jubebant illi ne Episcopi Synodos congregare uspiam auderent: hic Episcopos ex omnibus provinciis ad se accersivit; nec modo intra palatium & in intimum usque cubiculum admisit, sed etiam mensæ tectiq; participes esse voluit. Illi dæmones donariis honorabant: B hic eorum fraudes aperuit, & materiam ipsam donariorum nullis usibus dicatam, iis qui uti poterant perpetuò est dilargitus. Illi Deorum templa magnificè ornari jubebant: hic ea quæ superstitiosis hominibus præcipuo honore colebantur, funditus subvertit. Illi Dei servos ignominiosis pœnis afficiebant: hic eos quidem qui ista admiserant persecutus, debito affecit supplicio; sanctorum autem Dei martyrum memorias, colere nunquam destitit. Illi divino cultui dicatos homines è palatio ejiciebant: hic ejusmodi hominibus præcipuè confisus est, quippe quos præ ceteris omnibus benevolos fidósque sibi C esse intelligeret. Illi pecuniæ cogendæ supra modum avidi, Tantalico cuidam affectui animum suû mancipaverât: hic regali magnificentia thesauros omnes recludens, liberali & generosa largitione eos distribuit. Denique illi quidem innumerabiles cædes perpetrabant, ut interfectorum bona diriperent ac publicarent: quamdiu verò imperavit Constantinus, cunctis judicibus gladius otiosus semper atque incruentus pependit: cùm in omnibus provinciis populi simul ac Decuriones patria quadam potestate potius quam vi ac necesD sitate regerentur. Quæ si quis attentius consideraverit, merito dicturus est, novum quoddam sæculum tandem apparuisse sibi videri; insolito lumine post diuturnas tenebras humano generi repente affulgente. Totúmque hoc Dei opus esse fatebitur, qui adversus illam impiorum multitudinem, hunc religiosum Imperatorem velut æmulum opposuerit.